# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ ΤΟΥ ΤΙΜΙΟΥ ΛΕΙΨΑΝΟΥ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ ΚΑΙ ΤΟΥ ΤΟΥ ΘΑΥΜΑΤΟΣ ΑΥΤΟΥ ΟΤΕ ΔΙΕΣΩΣΕΝ ΑΠΟ ΤΗΣ ΠΑΝΩΛΟΥΣ ΤΗΝ ΠΟΛΙΝ ΤΗΣ ΜΥΤΙΛΗΝΗΣ

Ψαλλομένη τῇ Κυριακῇ τοῦ Παραλύτου.

Συμπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα, διορθωθεῖσα καὶ ἐπαυξηθεῖσα
ὑπὸ τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Τὸν θαυμαστὸν Πολιοῦχον, δεῦτε Θεόδωρον, Μυτιληναίων δῆμοι, εὐφημήσωμεν πόθῳ· οὗτος γὰρ θεόθεν τὰς δωρεάς, τῶν θαυμάτων δεξάμενος, ὥσπερ φωστὴρ καταυγάζει πλησιφαής, Ἐκκλησίας τὸ στερέωμα.

Ἡ῾ τῶν λειψάνων σου λάρναξ, Μάρτυς Θεόδωρε, δῶρον Θεοῦ ὑπάρχει, Μυτιλήνης τῇ πόλει, ἐκβλύζουσα ἀπαύστως οἷα πηγή, τῶν θαυμάτων τὰ νάματα, καὶ τὰς καρδίας εὐφραίνουσα μυστικῶς, τῶν ὑμνούντων σου τὴν ἄθλησιν.

Θανατηφόρου πανώλους, λαὸν διέσωσας, τῆς Μυτιλήνης πάλαι, ὡς αὐτῆς Πολιοῦχος· αὐτὸν οὖν μὴ ἐλλίπῃς, σκέπων καὶ νῦν, Νεομάρτυς Θεόδωρε, καὶ διασῴζων ἐκ πάσης ἐπιβουλῆς, πολεμίων τῇ πρεσβείᾳ σου.

Ι῾δοὺ συνήλθομεν πάντες, καὶ λιτανεύοντες, τὴν λάρνακα παμμάκαρ, τοῦ σεπτοῦ σου λειψάνου, ἐκ πόθου σοι βοῶμεν· Μάρτυς Χριστοῦ, Πολιοῦχε Θεόδωρε, ἡμεῖς λαός σου καὶ χάριτος διὰ σοῦ, σωτηρίου δόσεις λάβοιμεν.

Δόξα. Ἦχος β′.

Δῶρον Θεοῦ σε ἔγνωμεν, φερώνυμον τῇ πόλει σου, Θεόδωρε Νεομάρτυς ἀήττητε· ἐκ ἀσθενείας γὰρ λοιμικῆς, τὸ πάλαι ταύτην ἐῤῥύσω, κατ᾿ ὄναρ ἐπιστάς, τῷ Πρεσβυτέρῳ Καλλινίκῳ, καὶ τὴν ἐκ κρύπτης κελεύσας, τοῦ λειψάνου σου ἔξοδον· νῦν δὲ πολυειδῶς καὶ πολυτρόπως, τὴν περὶ αὐτὴν

δεικνύεις σου πρόνοιαν, θαύματα πολλὰ ἐργαζόμενος, πρὸς εὐεργεσίαν τοῦ λαοῦ σου, ἐκ καρδίας ἀναβοῶντος· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶς, ὁ θαυμαστὸς ἐν τοῖς Ἁγίοις ὡς γέγραπται.

Καὶ νῦν. Θεοτοκίον Δογματικόν. Ἦχος γ΄.

Μέγιστον θαῦμα! Παρθένος τεκοῦσα καὶ τὸ τεχθέν, Θεὸς πρὸ αἰώνων, προφανὴς ὁ τόκος, καὶ τὸ τελούμενον ὑπὲρ φύσιν. Ὢ μυστηρίου φρικώδους! ὃ καὶ νοούμενον, ἄφραστον μένει, καὶ θεωρούμενον, οὐ καταλαμβάνεται. Μακαρία σὺ εἶ, Ἄχραντε Κόρη, Ἀδὰμ τοῦ γηγενοῦς θυγάτηρ, καὶ Θεοῦ τοῦ Ὑψίστου φανεῖσα Μήτηρ· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε τὸν θαυμαστόν, Θεόδωρον ἐν ὕμνοις, ἡμῶν τὸν πολιοῦχον, Μυτιληναίων δῆμοι, τοῖς ὕμνοις στεφανώσωμεν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἔσωσας λοιμικῆς, νόσου τὴν Μυτιλήνην, ὡς ταύτης πολιοῦχος, καὶ μέγιστος προστάτης, Θεόδωρε πολύαθλε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Βρύει ὥσπερ πηγή, ἡ λάρναξ σου θαυμάτων, Θεόδωρε τὰ ῥεῖθρα, τὴν πόλιν Μυτιλήνης, εὐφραίνουσα τιμῶσάν σε.

Δόξα. Ἦχος πλ. δ΄.

Μυτιλήνης Πολιοῦχε, Νεομάρτυς Θεόδωρε, χαῖρε καὶ εὐφραίνου· Χριστὸν γὰρ ἀγαπήσας, τρυφῆς προσκαίρου κατεφρόνησας, καὶ τὸν Σταυρόν σου ἀράμενος, μαρτυρικῶς τὸν δρόμον, τῆς εὐσεβείας ἐξετέλεσας· διὸ πρέσβευε ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τοῦ Παραλύτου. Ὁ αὐτός.

Ἐν τῇ Στοᾷ τοῦ Σολομῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων, καὶ μεσούσης τῆς Ἑορτῆς, εὗρεν ὁ Χριστὸς ὀκτὼ καὶ τριάκοντα ἐτῶν παράλυτον κείμενον· δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν

ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ὁ δὲ λέγει πρὸς αὐτόν· Ἆρόν σου τὴν κλίνην, ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Τῆς Θεοτόκου πρεσβείαις Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ι′ καὶ ψάλλομεν Ἀναστάσιμα Στιχηρὰ δ′, τοῦ Παραλύτου Στιχηρὰ Ἰδιόμελα β′ καὶ τοῦ Ἁγίου Στιχηρὰ Προσόμοια δ′.

Ἦχος δ′. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ω῾ς γενναῖον ἐν Μάρτυσιν, Ἀθλοφόρε Θεόδωρε, συνελθόντες σήμερον εὐφημοῦμέν σε, καὶ τὴν τιμίαν σου λάρνακα, πιστῶς ἀσπαζόμενοι, ἐξαιτούμεθα τυχεῖν, νοσημάτων ἰάσεως, ἀλγηδόνων τε, καὶ παντοίων κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει σε τιμῶντας, καὶ εὐσεβῶς μεγαλύνοντας.

Τῆς πανώλους διέσωσας, τὴν σὴν πόλιν Θεόδωρε, καὶ πιστῶν κατηύφρανας τὰ συστήματα, καὶ θυμηδίας ἀνάπλεοι, τανῦν λιτανεύοντες, ἐξαιτούμεθα πασῶν, τῶν δεινῶν περιστάσεων, ἐξελεῖν ἡμᾶς, καὶ ἀτρώτους φυλάττειν ἐκ κινδύνων, τοὺς ἐν πίστει σε τιμῶντας, καὶ εὐσεβῶς μεγαλύνοντας.

Ι῾ερέων ὁ σύλλογος, τὰ σεπτά σου μνημόσυνα, εὐγνωμόνως σήμερον προητοίμασε, καὶ τὴν ἁγίαν σου λάρνακα, λαμπρῶς προηυτρέπισε, προβαλλόμενος αὐτήν, τοῖς πιστοῖς εἰς προσκύνησιν, ὅπως εὕρωσιν, ἰαμάτων τὴν χάριν καὶ κινδύνων, ψυχικῶν τὴν θεραπείαν, καὶ τῶν δεινῶν ἀπολύτρωσιν.

Πολιοῦχόν σε ἔχουσα, Μυτιλήνη ἡ πόλις σου, ἐν ᾗ τὸ μαρτύριον ἐπετέλεσας, ἀγαλλιᾶται κροτοῦσά σοι, ἑόρτια σήμερον, καὶ κηρύττει εὐσεβῶς, τὸ ἐξαίσιον θαῦμά σου, ἀνακράζουσα· Χαίροις Μάρτυς Θεόδωρε πολύτλα, ὁ σημείοις ἐξαστράπτων, τῇ Ἐκκλησίᾳ ὡς ἥλιος.

Δόξα. Ἦχος πλ. α′.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν φιλέορτοι, καὶ χορεύσωμεν ἀγαλλόμενοι, ἐν τῇ εὐσήμῳ πανηγύρει, τοῦ Πολιούχου ἡμῶν. Πλούσιοι καὶ πένητες συντρεχέτωσαν, καὶ τὸν δι᾽ ὀνείρου φρικτῆς

ἐπιστασίας, ἐκ πανώλους σώσαντα, τοὺς πιστοὺς τῆς Μυτιλήνης πρίν, ἀνυμνοῦντες εὐφημήτωσαν· οἱ πένητες τὸν πλουτιστήν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοί τὸν προστάτην, τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν νόσοις τὸν ἰατῆρα, οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, ᾄσμασιν ἐγκωμίων, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Πανθαύμαστε Θεόδωρε, ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης, καὶ ῥῦσαι ἐκ θλίψεων, τοὺς ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Τοῦ Παραλύτου. Ὁ αὐτός.

Α᾿νέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἐπὶ τῇ Προβατικῇ κολυμβήθρᾳ, τῇ λεγομένῃ κατὰ Ἰουδαίους Βηθεσδά, πέντε στοὰς ἐχούσῃ· ἐν ταύταις γὰρ κατέκειτο πλῆθος τῶν ἀσθενούντων. Ἄγγελος γὰρ τοῦ Θεοῦ, κατὰ καιρὸν ἐπιφοιτῶν, διετάραττεν αὐτήν, καὶ ῥῶσιν ἐχαρίζετο τοῖς προσιοῦσιν ἐν πίστει. Καὶ ἰδὼν ὁ Κύριος χρονιοῦντα ἄνθρωπον, λέγει πρὸς αὐτόν· θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἰατροῖς κατηνάλωσα τὸν ἅπαντά μου βίον, καὶ ἐλέους τυχεῖν οὐκ ἠξιώθην. Ἀλλ' ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων λέγει πρὸς αὐτόν· Ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, κηρύττων μου τὴν δύναμιν, καὶ τὸ μέγα ἔλεος ἐν τοῖς πέρασιν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.
(Κεφ. μθ΄ 28-33)

Εἶπεν Ἰακὼβ τοῖς υἱοῖς αὐτοῦ· Ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν· θάψατέ με μετὰ τῶν Πατέρων μου ἐν τῷ σπηλαίῳ, ὅ ἐστιν ἐν τῷ ἀγρῷ Ἐφρὼν τοῦ Χετταίου, ἐν τῷ σπηλαίῳ τῷ διπλῷ, τῷ ἀπέναντι Μαμβρῆ, ἐν γῇ Χαναάν, ὃ ἐκτήσατο Ἀβραὰμ τὸ σπήλαιον παρὰ Ἐφρὼν τοῦ Χετταίου ἐν κτήσει μνημείου· ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ, ἐκεῖ ἔθαψαν Ἰσαὰκ καὶ Ῥεβέκκαν τὴν γυναῖκα αὐτοῦ, ἐκεῖ ἔθαψα Λείαν ἐν κτήσει τοῦ ἀγροῦ καὶ τοῦ σπηλαίου τοῦ ὄντος ἐν αὐτῷ παρὰ τῶν υἱῶν Χέτ. Καὶ κατέπαυσεν Ἰακὼβ ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην ἐξέλιπε καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.
(Κεφ. λζ΄ 1-14)

Ἐγένετο ἐπ᾿ ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξήγαγέ με ἐν πνεύματι Κυρίος, καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων· καὶ περιήγαγέ με ἐπ᾿ αὐτὰ κυκλόθεν κύκλῳ· καὶ ἰδοὺ πολλὰ σφόδρα, ἐπὶ

www.tezaurliturgic.ro

προσώπου τοῦ πεδίου, ξηρὰ σφόδρα. Καὶ εἶπε πρός με· Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστέα ταῦτα; καὶ εἶπα· Κύριε, Κύριε, σὺ ἐπίστη ταῦτα. Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς· Τὰ ὀστᾶ τὰ ξηρά, ἀκούσατε λόγον Κυρίου. Τάδε λέγει Κύριος τοῖς ὀστέοις τούτοις· Ἰδοὺ ἐγὼ φέρω εἰς ὑμᾶς πνεῦμα ζωῆς καὶ δώσω ἐφ᾿ ὑμᾶς νεῦρα καὶ ἀνάξω ἐφ᾿ ὑμᾶς σάρκας, καὶ ἐκτενῶ ἐφ᾿ ὑμᾶς δέρμα καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε· καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι Κύριος. Καὶ ἐπροφήτευσα, καθὼς ἐνετείλατό μοι Κύριος. Καὶ ἐγένετο ἐν τῷ ἐμὲ προφητεῦσαι καὶ ἰδοὺ σεισμός, καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. Καὶ εἶδον· καὶ ἰδοὺ ἐπ᾿ αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο, καὶ ἀνέβαινεν ἐπ᾿ αὐτὰ δέρμα ἐπάνω, καὶ πνεῦμα οὐκ ἦν ἐπ᾿ αὐτοῖς. Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὸ πνεῦμα, προφήτευσον υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ πνεύματι. Τάδε λέγει Κύριος· Ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθέ καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους, καὶ ζησάτωσαν. Καὶ ἐπροφήτευσα, καθότι ἐνετείλατό μοι· καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα. Καὶ ἐλάλησε Κύριος πρός με λέγων· Υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστιν, καὶ αὐτοὶ λέγουσι. Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν. Διὰ τοῦτο προφήτευσον, καὶ εἰπὸν πρὸς αὐτούς· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου. Καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος· λελάληκα, καὶ ποιήσω, λέγει Κύριος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ′, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Α᾿γάλλεται ἐν Κυρίῳ, ἡ Μυτιλήνη σήμερον, ἑορτὴν χαρμόσυνον ἄγουσα, τῆς ἀναδείξεως ἐκ τῆς κρύπτης, τοῦ τιμίου λειψάνου σου, Θεόδωρε πανθαύμαστε, καὶ ὡς Πολιοῦχόν σε, μακαρίζουσα ἀνακράζει σοι· Χαίροις τοῦ Βυζαντίου ὁ βλαστός, ὁ μαρτυρικῇ γεωργίᾳ, εἰς ἑκατὸν καρποφορήσας, τὴν εὐκαρπίαν τῆς χάριτος· Χαίροις ὁ θαυμάτων χάριν κληρωσάμενος, καὶ δι᾿ ὀνείρου ἐπιστασίας, διαμηνύσας θαυμαστῶς, τὴν περὶ τὴν πόλιν σου πρόνοιαν· χαίροις ὁ πανώλους ἐπιδρομῆς, τὸν λαόν σου πάλαι λυτρωσάμενος, καὶ αὐτῷ ἀεὶ ἐπιδεικνύων, ἐν θαύμασι τὴν θερμὴν κηδεμονίαν σου· πρέσβευε ἀκαταπαύστως, τὸν ἐν Τριάδι Θεῷ, ὑπὲρ τῶν προσιόντων, τῇ θαυματοβρύτῳ σου λάρνακι.

Ὁ αὐτός.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ πόλις Μυτιλήνη, ἀγάλλου καὶ χόρευε, ἐν τῇ πανδήμῳ πανηγύρει, τοῦ Πολιούχου Θεοδώρου. Ἰδοὺ γὰρ προέρχεται, ἡ τιμία αὐτοῦ λάρναξ, τοῖς ἐκδεχομένοις αὐτὴν πιστοῖς, παρέχουσα ἰατρείαν καὶ ζωήν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Ω῏ τῆς στεῤῥᾶς καὶ ἀδαμαντίνης σου ψυχῆς, ἀξιομακάριστε Θεόδωρε! Τὸν περιούσιον τοῦ Κυρίου λαόν, ὁρῶν νῦν τυραννούμενον, ἐζήτησας τῆς κρύπτης ἐξελθεῖν, καὶ αὐτὸν ἀπαλλάξαι ἀπὸ τῆς πανώλους. Διό σε δοξάζομεν, Μαρτύρων ἐγκαλλώπισμα· πρέσβευε τῷ Θεῷ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν[1].

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε πιστοί, πνευματικῶς εὐφρανθῶμεν, καὶ πανηγυρίσωμεν, τὴν ἀνακομιδὴν τοῦ σεπτοῦ λειψάνου, τοῦ πανενδόξου Μάρτυρος ἑορτάζοντες, καὶ βοήσωμεν αὐτῷ· Ἀθλοφόρε Θεόδωρε, πρέσβευε τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τοῦ Παραλύτου. Ἦχος πλ. α΄.
Ποίημα τοῦ Κουμουλᾶ.

Ε᾿πὶ τῇ Προβατικῇ κολυμβήθρᾳ, ἄνθρωπος κατέκειτο ἐν ἀσθενείᾳ, καὶ ἰδών σε Κύριε ἐβόα· Ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ

---

[1] Ἐν τῇ Ἀκολουθίᾳ τοῦ Ἰακώβου τοῦ Α΄ καταχωρεῖται ὡς Δοξαστικὸν τῶν Ἀποστίχων.

με ἐν αὐτῷ· ἐν ᾧ δὲ πορεύομαι, ἄλλος προλαμβάνει με, καὶ λαμβάνει τὴν ἴασιν, ἐγὼ δὲ ἀσθενῶν κατάκειμαι, καὶ εὐθὺς σπλαγχνισθεὶς ὁ Σωτήρ, λέγει πρὸς αὐτόν· Διὰ σὲ ἄνθρωπος γέγονα, διὰ σὲ σάρκα περιβέβλημαι, καὶ λέγεις ἄνθρωπον οὐκ ἔχω; ἆρόν σου τὸν κράββατον καὶ περιπάτει. Πάντα σοι δυνατά, πάντα ὑπακούει, πάντα ὑποτέτακται, πάντων ἡμῶν μνήσθητι, καὶ ἐλέησον Ἅγιε, ὡς φιλάνθρωπος.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, πρῶτον τὸ Ἀναστάσιμον, Ὁ τῷ πάθει σου Χριστέ, καὶ ἀκολούθως τὰ κάτωθι Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου[2].

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Χαίροις, ὦ Νεομάρτυς Χριστοῦ, Μυτιληναίων ὁ προστάτης ὁ ἔνθερμος, πανώλους τῆς βροτοκτόνου, καὶ πολλαπλῶν συμφορῶν, ἀπαλλάξας τούτους καὶ ῥυσάμενος, τὴν πόλιν πανένδοξε, καὶ φαιδρύνας τὰ πρόσωπα, τῶν πιστευόντων, εἰς Θεὸν Παντοκράτορα, εἰς συνάναρχον, καὶ ὁμόθρονον Κύριον, καὶ εἰς τὸ συναΐδιον, Πατρὶ καὶ πανάγιον, Πνεῦμα τὸ Θεῖον, Τριάδος, τῆς Παναγίας ὑπέρκαλλε· Αὐτὴν μὴ ἐλλείπῃς, ἱκετεύων τοῦ ῥυσθῆναι, ἡμᾶς ἐκ θλίψεων.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις, ὦ Νεομάρτυς Χριστοῦ, τῆς Μυτιλήνης Πολιοῦχε πανθαύμαστε, ὁ πλήρης ἐνθέου ζήλου, ὁ μιμητὴς τοῦ Χριστοῦ, ὁ Σταυρὸν ἐπ᾽ ὤμων σου ἀράμενος· ἐνθέως πυρσούμενος, τῷ φωτὶ τῆς Θεότητος, καὶ τῶν ἀπίστων, τὴν ὀφρὺν καὶ τὴν ἔπαρσιν, καὶ τὸ φρύαγμα, καθελὼν καὶ τὰ ἔπαθλα, νίκης λαβὼν πανένδοξε, καὶ τούτοις κοσμούμενος, συμπαρεδρεύεις τῷ θρόνῳ, τῆς Τρισηλίου Θεότητος, αὐτὴν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις, ὦ Νεομάρτυς Χριστοῦ, τοῦ Βυζαντίου συμπαθέστατον σέμνωμα, ὁ πάσας τὰς τῶν ἀθέων, τυραννικὰς ἀπειλάς, ἐκφυγὼν καὶ μῖσος τοῦ ἀλάστορος, καὶ πόλιν βασίλειον, καταλείψας καὶ γείτονα, νῆσον τὴν Χίον, καταπλεύσας κατῴκησας, πρὸς μαρτύριον, εὐσεβῶς ἐπειγόμενος[3]· ἔνθα

[2] Ἐν τῇ Ἀκολουθίᾳ Ἰακώβου τοῦ Α΄ καταχωροῦνται ὡς Στιχηρὰ Προσόμοια τῶν Αἴνων.
[3] Ἡ φράσις «πρὸς μαρτύριον, εὐσεβῶς ἐπειγόμενος» προσετέθη ἀφ᾽ ἡμῶν χάριν ἀρτιότητος τοῦ μέτρου.

πιστοὶ θεόφρονες, προθύμως συνέδραμον, καὶ εἰς τὴν Λέσβον προφρόνως, σὲ ἐν νυκτὶ ἐξαπέστειλαν, ἐλθεῖν ὑποστῆναι, μαρτυρίου τὴν ἀγχόνην, ἀξιοθαύμαστε.

Εἶτα δὲ τὰ Στιχηρὰ τοῦ Πάσχα, Πάσχα ἱερόν, μετὰ τῶν Στίχων αὐτῶν.

Δόξα. Ἦχος Ἦχος πλ. δ'.

Μυτιληναίων τὰ πλήθη, τὸν Πολιοῦχόν σε τιμῶμεν, Νεομάρτυς Θεόδωρε· σὺ γὰρ ἐν οὐρανοῖς δοξαζόμενος, καὶ ἐπὶ γῆς θαύματα ἐργαζόμενος, πανταχοῦ προφθάνεις νόσων ῥυόμενος, καὶ κινδύνων παντοίων ἐξαιρούμενος, τοὺς ἐπικαλουμένους τὴν προστασίαν σου. Αὐτῆς οὖν τῶν ἐκφάνσεων, ὡς συμπαθέστατος ἀξίωσον καὶ ἡμᾶς, τοὺς τιμῶντας λειψάνων σου τὴν λάρνακα, καὶ σκέπε τὴν πόλιν σου, ἀνακειμένην τῇ προστασίᾳ σου.

Καὶ νῦν. Τοῦ Παραλύτου. Ὁ αὐτός.

Ἐ'ν τῇ Στοᾷ τοῦ Σολομῶντος, ἐκεῖ κατέκειτο πλῆθος τῶν ἀσθενούντων, καὶ μεσούσης τῆς Ἑορτῆς, εὗρεν ὁ Χριστὸς ὀκτὼ καὶ τριάκοντα ἐτῶν παράλυτον κείμενον, δεσποτικῇ φωνῇ λέγει πρὸς αὐτόν· Θέλεις ὑγιὴς γενέσθαι; ὁ ἀσθενῶν ἀπεκρίνατο· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν, ὁ δὲ λέγει πρὸς αὐτόν· Ἆρόν σου τὴν κλίνην, ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Τῆς Θεοτόκου πρεσβείαις Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀναστάσιμον Ἀπολυτίκιον, εἶτα δὲ τὸ τοῦ Ἁγίου.

Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὸ πάντιμον λείψανον, τοῦ Θεοδώρου πιστοί, ἐνδόξως τιμήσωμεν, ὡς θησαυρὸν τιμαλφῆ, καὶ πάντες βοήσωμεν· Σῶσον ἐκ τῶν κινδύνων, τοὺς πιστῶς σε ὑμνοῦντας, ὥς ποτε σὺ ἐῤῥύσω, ἐκ πανώλους τὴν πόλιν, καὶ πάντας περιφρούρησον, ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Τὸ ὁμόηχον Θεοτοκίον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν ψάλλομεν πρῶτον τὸ Ἀναστάσιμον Κάθισμα τοῦ ἤχου· εἶτα δὲ τὸ τοῦ Ἁγίου.

Δόξα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν Νεομάρτυρα Χριστοῦ Θεόδωρον, ἀνευφημήσωμεν τερπνοῖς ἐν ᾄσμασι, Μυτιληναίων οἱ χοροί, βοῶντες ἀπὸ καρδίας· Πολιοῦχε μέγιστε, καὶ προστάτα ἀκοίμητε, τῆς λαμπρῶς τιμώσης σε, ταύτης πόλεως σήμερον, ἐλθὲ μέσον ἡμῶν ἀοράτως, πᾶσι τὴν χάριν σου βραβεύων.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι, Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον, τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β΄ Στιχολογίαν ψάλλομεν πρῶτον τὸ Ἀναστάσιμον Κάθισμα τοῦ ἤχου· εἶτα δὲ τὸ τῶν Ἁγίων.

Δόξα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Λοιμοῦ διέσωσας, πάλαι τὴν πόλιν σου, τὴν τοῦ λειψάνου σου, κελεύσας ἔξοδον, ἐξ ἧς ἐκρύπτετο ἐχθρῶν, τῷ φόβῳ παμμάκαρ κρύπτης, καὶ πιστῶν τὰ πρόσωπα, εὐφροσύνης ἐπλήρωσας, οἵτινες τῷ θαύματι, ἐξιστάμενοι ἔκραζον· Θεόδωρε πολύαθλε χαῖρε, Νεομαρτύρων ἡ λαμπρότης.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ ἐπουράνια, πόθῳ ἠγάλλοντο, καὶ τὰ ἐπίγεια, τρόμῳ ἐξίσταντο, ὅτε ἡ ἄχραντος φωνή, ἐπῆλθέ σοι Θεοτόκε· μία γὰρ πανήγυρις, ἀμφοτέροις ἐπέλαμψεν, ὅτι τόν Πρωτόπλαστον, ἐκ θανάτου ἐῤῥύσατο· διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε Ἁγνὴ Παρθενομῆτορ.

Μετὰ τὸν Πολυέλεον εὐθὺς τὰ Εὐλογητάρια. Αἴτησις παρὰ τοῦ Ἱερέως καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου, χῦμα. Εἶτα τὸ Κάθισμα τῶν Ἁγίων.

Ἦχος α΄. Τὸν τάφον σου.

Λειψάνου σου τανῦν, τὴν ἀνάδειξιν πάντες, τιμῶμεν οἱ πιστοί, περιάγοντες τοῦτο, Θεόδωρε εἰς πόλεως, τὰς ὁδοὺς λιτανεύοντες· ταύτην φύλαττε, ἐκ συμφορῶν καὶ κινδύνων, καὶ ἐν πίστεως, τῆς Ὀρθοδόξου τῇ πέτρᾳ, ἀκλόνητον στήριζε.

Δόξα. Ὅμοιον.

Τῆς κρύπτης θαυμαστῶς, ἡ σὴ λάρναξ ἐξῆλθε, καὶ ᾤχετο φυγάς, πρὸ αὐτῆς ἡ πανώλη, μὴ φέρουσα τὴν χάριν σου, ἧς ἡ πόλις σου ἔκτοτε, ἀπολαύουσα, τῶν δωρημάτων ἀπαύστως, μακαρίζει σε, ὡς θαυμαστὸν Πολιοῦχον, αὐτῆς ὦ Θεόδωρε.

Καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Οἱ Ἀναβαθμοί τοῦ ἤχου καὶ ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγέλιου. Εἶτα δὲ οἱ Κανόνες· τοῦ Πάσχα μετὰ τῶν δύο Θεοτοκίων καὶ οἱ τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις «Κυρίλλου».

Ὠιδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Α᾿ναστάσεως ἡμέραν, τοῦ Δεσπότου ἡμῶν, ἄγοντες εὐφροσύνως, δεῦτε καὶ ἄλλην ἑορτήν, Πολιούχου τοῦ κλεινοῦ, τελοῦντες πιστῶς, καὶ τούτῳ κραυγάζοντες· Χαίροις Μάρτυς Θεόδωρε.

Καθαρθῶμεν τῶν προσύλων, καὶ προσδράμωμεν, τοῦ Πολιούχου πιστοὶ τῇ θείᾳ λάρνακι· ἐκβλύζει γὰρ πάντοτε, πηγὴ ὡς ἀκένωτος, θαυμάτων τὰ νάματα, εἰς ψυχῶν περιποίησιν.

Οὐρανοὶ μὲν τῇ σῇ δόξῃ ἐπαγάλλονται, χαίρει δὲ Μυτιλήνη, ὅτι καλόν σε Προστάτην, Πολιοῦχον μέγαν, ἀκαταίσχυντον, Θεόδωρε εὕρατο, εὐδοκίᾳ τῇ ἄνωθεν.

Θεοτοκίον

Κυριώνυμε Παρθένε, Θεοτόκε σεμνή, χαῖρε καὶ πάλιν χαῖρε, ὅτι ἐκύησας φρικτῶς, ἐξ αἱμάτων σου ἁγνῶν, Χριστὸν τὸν Θεόν, δι᾿ οὗ κατηλλάγημεν, τῷ Πατρὶ οἱ ὑμνοῦντές σε.

Κανὼν ἕτερος τοῦ Ἁγίου, ἄνευ Ἀκροστιχίδος.

Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Ε᾿γκωμίων ᾄσμασι φαιδροῖς, δεῦτε ὦ φιλέορτοι, τὸν Νεομάρτυρα ἀνευφημήσωμεν, καὶ αὐτῷ βοήσωμεν· Μυτιλήνης τὸ ἑδραῖον ἐγκαλλώπισμα, καὶ στεῤῥὸν χαίροις προπύργιον, Θεόδωρε πανθαύμαστε.

Ἐμπλακεὶς παγίσι πονηροῦ, τὸν Χριστὸν κετέλιπες, καὶ τῶν τυράννων τῇ πίστει ἐξώμωσας, καὶ σαυτὸν ἐσπίλωσας· βαπτισθεὶς δὲ μετανοίας θερμοῖς δάκρυσι, τῷ Χριστῷ αὖθις προσήγγισας, καὶ τούτῳ ἠκολούθησας.

Τριαδικόν.

Τῷ Πατρὶ προσφέρων προσφορὰν, καὶ Υἱῷ καὶ Πνεύματι, τῷ Παναγίῳ σαυτὸν προσενήνοχας, ὡς θυσίαν ἄμωμον, καὶ ἀγχόνῃ ἤθλησας Μεγάλῳ Σαββάτῳ, καὶ Μαρτύρων ταῖς χορεῖαις, νῦν οἰκεῖς ἀγαλλόμενος.

Θεοτοκίον.

Ὑπερτέρα πέφηνας Ἁγνή, πάσης ἀοράτου τε, καὶ ὁρατῆς Ἀειπάρθενε κτίσεως· τὸν γὰρ Κτίστην τέτοκας, ὃς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου· ᾧ νῦν παῤῥησίᾳ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κανὼν πρῶτος. Ὠιδὴ γʹ. Δεῦτε πόμα.

Δεῦτε ἀγαλλόμενοι λαμπρῶς, Πολιούχου τῇ θήκῃ πιστοὶ προσδράμωμεν, ἀναβοῶντες αὐτῷ· Θεόδωρε Μάρτυς τοῦ Χριστοῦ, τὴν πόλιν σου φύλαττε.

Νῦν πόλις πεπλήρωται χαρᾶς, Μυτιλήνης τιμῶσα τὸ μέγα θαῦμά σου· ἐκ τῆς πανώλους γὰρ πάλαι Μάρτυς, ἐλύτρωσας αὐτήν, διὰ τοῦ λειψάνου σου.

Χθὲς ἀπὸ τῆς κρύπτης θαυμαστῶς, τῷ ἁγίῳ λειψάνῳ σου ἐξανέτειλας· σήμερον δὲ ἐξ αὐτοῦ, τὸ φῶς ἀνατέλλεις τῷ λαῷ, τῆς θείας σου χάριτος.

Θεοτοκίον.

Ὕμνοις εὐφημοῦμέν σε ἀεί, καὶ δοξάζομεν Μῆτερ τὸν θεῖον τόκον σου· Θεὸς γὰρ ὤφθη ἐκ σοῦ, λυτρούμενος κόσμον τῆς ἀρᾶς, ὡς μόνος φιλάνθρωπος.

Κανὼν ἕτερος. Ἐξήνθησεν ἡ ἔρημος.

Χοροὶ Μαρτύρων ᾔσθοντο, σὲ ὁρῶντες Ἅγιε, ἐν τῷ σταδίῳ χαίροντα, καὶ τυράννοις ἀντιταττόμενον, καὶ περιβαλλόμενον στέφος ἄφθαρτον.

Τὰ πλήθη καθορῶντά σε, ἐν ἀγχόνῃ Ἅγιε, λύπῃ πικρᾷ συνείχοντο, τὴν καρδίαν κατατρυχόμενα, καὶ θρηνοῦντα σὸν θάνατον Θεόδωρε.

www.tezaurliturgic.ro

Τριαδικόν.

Τριάδα ὁμοούσιον, ἐν Πατρὶ καὶ Πνεύματι, σὺν τῷ Υἱῷ ἀχώριστον, προσκυνεῖν καὶ λατρεύειν ἔδειξας, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου· διό σε Θεοτόκον πίστει σέβομεν.

Αἴτησις. Εἶτα δὲ τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Ἁγίου.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τὸν Πολιοῦχον τὸν καλὸν πάντες τιμήσωμεν,
κατασπαζόμενοι αὐτοῦ πιστῶς τὴν λάρνακα,
ἐξ ἧς νάματα ἐκβλύζουσι ἰαμάτων·
οὗτος πόλιν ἐκ λοιμοῦ γὰρ πρὶν ἐῤῥύσατο,
καὶ νῦν ταύτην τῇ αὐτοῦ τειχίζει χάριτι,
ἀναμέλπουσαν· Χαίροις, Μάρτυς Θεόδωρε.

Ὁ Οἶκος.

Μαστυρίου τὸν δρόμον, Μυτιλήνης ἐν πόλει, τελέσας ἀνδρικῶς δι᾽ ἀγχόνης, ἐν αὐτῇ ἀεὶ μένεις τῷ σῷ, χαριτοβρύτῳ λειψάνῳ Θεόδωρε, καὶ ἐξ αὐτοῦ τὴν χάριν σου, λαῷ παρέχεις τῷ βοῶντι·
Χαῖρε, τὸ ἄνθος τῆς εὐσεβείας·
χαῖρε, τὸ ῥόδον τῆς μετανοίας.
Χαῖρε, Βυζαντίου ἀμάραντον βλάστημα·
χαῖρε, Ἐκκλησίας θεόσδοτον καύχημα.
Χαῖρε, ἔμψυχον γεώργιον τοῦ Θεοῦ τῶν δωρεῶν·
χαῖρε, τίμιον ἀπάνθισμα ἄθλων τῶν μαρτυρικῶν.
Χαῖρε, ὅτι ἐγένου κῆρυξ τῆς ἀληθείας·
χαῖρε, ὅτι ἐφάνης πτῶσις τῆς ἀσεβείας.
Χαῖρε, πιστῶν τρανώσας τὸ φρόνημα·
χαῖρε, ἐχθρῶν πατήσας τὸ φρύαγμα.
Χαῖρε, καλὸς Μυτιλήνης προστάτης·
χαῖρε, αὐτῆς Πολιοῦχος καὶ ῥύστης.
Χαίροις Μάρτυς Θεόδωρε.

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ Θεοδώρου τοῦ σεπτοῦ Πολιούχου, τῆς Μυτιλήνης οἱ πιστοὶ ὁμοφρόνως, τῇ λάρνακι προσπέσωμεν, κραυγάζοντες αὐτῷ· Ὡς ποτὲ διέσωσας, τοῦ λοιμοῦ τὸν λαόν σου, οὕτω ἔσο πάντοτε, μεθ᾽ ἡμῶν ἀοράτως, ἐκ συμφορῶν ῥυόμενος ἡμᾶς, τῇ ἐνεργείᾳ τῆς θείας σου χάριτος.

Δόξα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἐπιβοωμένοι τὴν προστασίαν σου, ψυχῆς καὶ σώματος, γόνατα κλίνομεν, τῆς λάρνακός σου οἱ πιστοί, ἐνώπιον καὶ βοῶμεν· Χαῖρε ὁ τὴν ἔπαρσιν, τῶν ἐχθρῶν τροπωσάμενος, καὶ θαυμάτων δύναμιν, ἐκ Θεοῦ κληρωσάμενος· Θεοῦ χαῖρε φερώνυμον δῶρον, ταύτῃ Θεόδωρε τῇ πόλει.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ῥῆμα Παράλυτον, μόνον συνέσφιγξεν, ὡς ὁ παγκόσμιος, λόγος ἐφθέγξατο, τοῦ δι᾽ ἡμᾶς ἐπὶ τῆς γῆς ὀφθέντος δι᾽ εὐσπλαγχνίαν· ὅθεν καὶ τὸν κράββατον, ἐπιφέρων διήρχετο, κἂν οἱ Γραμματεῖς ὁρᾶν, τὸ πραχθὲν οὐχ ὑπέφερον, κακίας κατεχόμενοι φθόνῳ, τῷ ψυχὰς παραλύοντι.

Ὠιδὴ δ'. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἐπὶ τῇ λάρνακι τῶν σῶν, λειψάνων χαίρει εὐσεβῶς, ἅπας ὁ λαὸς Μυτιλήνης, ὡς σεπτὸν ἐχέγγυον, αὐτὴν τῆς προστασίας σου, ἔχουσα ὦ Θεόδωρε μάκαρ, καὶ μεγαλύνει Θεόν, τὸν σὲ δοξάσαντα.

Ὡς ἐνιαύσιος πηγή, χαρᾶς ἐπέφανεν ἡμῖν, ταύτῃ ἡ ἡμέρα ὦ Μάρτυς, ἐν ᾗ ἑορτάζομεν, θαῦμά σου τὸ ἐξαίσιον· πανώλους γὰρ τὴν πόλιν ἐῤῥύσω, τῆς Μυτιλήνης ποτέ, ὡς ταύτης πρόμαχος.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ Μυτιλήνης σήμερον, τὴν ἱεράν σου λάρνακα κατέχων, ὡς ταμεῖον θαυμάτων, ἀγαλλιᾶται φαιδρῶς, Μάρτυς Θεόδωρε.

Θεοτοκίον.

Ῥυπῶσαν κέκτημαι ψυχήν, ἄθεσμα ἔργα ἐκτελῶν, τῇ τοῦ πονηροῦ συμβουλίᾳ, καὶ πτοοῦμαι Δέσποινα, τὸ φοβερὸν κριτήριον· διό μοι ἐν ἐκείνῃ τῇ ὥρᾳ, τὸν σαρκωθέντα ἐκ σοῦ, ποίησον ἵλεων.

Κανὼν ἕτερος. Ἐλήλυθας ἐκ Παρθένου.

Ἀπήλλαξας τὴν σὴν πόλιν, πανώλους πανόλβιε, καὶ λαὸν διέσωσας, ἐκ τοῦ θανάτου γηθόμενον, καὶ πιστῶς κραυγάζοντα· Νεομαρτύρων καύχημα, ταῖς σαῖς πρεσβείαις ῥῦσαί με.

Ἐπάταξας τῶν ἀπίστων, τὸ θράσος καὶ ὕψωσας, τῶν πιστῶν τὸ κέρας, θεῖε Ἀθλοφόρε Θεόδωρε, καὶ βραβεῖα εἴληφας, ἐκ τῶν χειρῶν τοῦ Ἄνακτος, ᾧ χαίρων νῦν παρίστασαι.

Τριαδικόν.

Ἐκήρυξας τῆς Θεότητος, δόξαν καὶ δύναμιν, καὶ τὸ κράτος ἔλυσας, τοῦ δεινοῦ πολεμήτορος, διὰ τοῦ θανάτου σου, εἰς τὴν ζωὴν τὴν ἄληκτον, σὺ μεταστὰς παναοίδιμε.

Θεοτοκίον.

Σὲ λιμένα σωτηρίας, καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα· σὺ γὰρ ταῖς πρεσβείαις σου, τῶν κινδύνων λυτροῦσαι, τὰς ψυχὰς ἡμῶν.

Ὠιδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου.

Ὀρθρίσωμεν πάντες πρὸς ὕμνον, τοῦ κραταιοῦ Πολιούχου, ἐκ πόθου ἀναβοῶντες· Χαῖρε ὦ Θεόδωρε, Νεομαρτύρων καύχημα, καὶ Ἐκκλησίας ἀγλάϊσμα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, περὶ τὴν πόλιν τὴν σήν, τεκμαιρόμενος ἐκ τῆς θήκης, τῶν σεπτῶν λειψάνων σου αὐτῇ, χάριτος χύδην κρουνούς, ἀναπηγάζεις Θεόδωρε.

Προσέλθωμεν ἐν εὐφροσύνῃ, ἐν οἴκῳ ζῶντος Θεοῦ, τὸ ἐξαίσιον Θεοδώρου, θαῦμα ἑορτάζοντες, καὶ πρὸς αὐτὸν κραυγάζοντες· Σκέπε τὴν πόλιν σου Ἅγιε.

Θεοτοκίον.

Ἰσχύϊ ἁγίᾳ Παρθένε, τοῦ σαρκωθέντος ἀφράστως, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ῥωσθέντες οἱ Μάρτυρες, τυράννων κατεπάτησαν, πᾶσαν ἀντίθεον ἐπίνοιαν.

Κανὼν ἕτερος. Μεσίτης Θεοῦ.

Ἐτάφης τὸ πρίν, εἰς ναὸν Χρυσομαλλούσης, πολύαθλε καὶ ἐκεῖθεν, ἐν νυκτὶ μετακεκόμικας Ἅγιε, εἰς ναὸν πρωτευούσης, Μυτιλήνης Θεόδωρε.

Παθῶν συμφοράν, ὁ λαὸς τῆς Μυτιλήνης, πανένδοξε ἐκ προσώπου, ἔφευγε τῆς πανώλους Ἅγιε, θλιβόμενος καὶ εἰς σὲ τὰς ἐλπίδας, ἀνατεθεὶς ἐπέστρεψεν.

Τριαδικόν.

Τριάδα ἁπλῆν, ἐκ Πατρὸς ἀγεννήτου, Υἱοῦ γεννητοῦ, καὶ ἐκ Θείου Πνεύματος, ἐγνώρισας Ἅγιε Θεόδωρε, καὶ αὐτῇ μεσιτεύων, μὴ παύσῃ παναοίδιμε.

Θεοτοκίον.

Δυσώπει τὸν σόν, Υἱόν τε καὶ Κύριον, Παρθένε Ἁγνή, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

Ὠιδή στʹ. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κατῆλθεν, νῦν ἐν πανηγύρει φαιδρᾷ, ὁ φιλόχριστος λαὸς Μυτιλήνης, κηρύττων διαπρυσίῳ φωνῇ, τὰ σὰ θαύματα, δι᾽ ὧν δείκνυσαι αὐτῷ, Μάρτυς μέγας προστάτης.

Φυλάξας σὸν λείψανον σῶον ἐχθρῶν, τῆς μανίας ἐν κρύπτῃ, ἐξ αὐτῆς ξένῳ τρόπῳ, τοῦτο ἀνέδειξας, ὦ Θεόδωρε, Πρεσβυτέρῳ ἐπιστάς, Καλλινίκῳ κατ᾽ ὄναρ.

Σῶτέρ μου πρεσβείας τοῦ Μάρτυρος Θεοδώρου, τοῦ κρατίστου ἡμῶν Πολιούχου, ὡς ἐλεήμων Θεός, σῷζε ἅπαντας, τοὺς λειψάνων αὐτοῦ, τῇ σορῷ προσιόντας.

Θεοτοκίον.

Λαός σου ἐσμὲν Θεοτόκε ἡμεῖς, διὰ τοῦτο εὐσεβῶς ἐκβοῶμεν· Εὐχαῖς σου θεοπειθέσιν ἡμᾶς, δεῦρο Ἄχραντε, ἐκ κινδύνων χαλεπῶν, εὐμενῶς λυτρουμένη.

Κανὼν ἕτερος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὑ῾π᾿ ἀνόμων κριτῶν δικαζόμενος, τῆς φρικτῆς κολάσεως τὸ πῦρ ἐξέφυγες, τὸν τῆς ἀγχόνης θάνατον, παρ᾿ αὐτῶν εἰληφὼς γενναιότατα.

Ε᾿ν θαλάσσης ἐῤῥίφθης Θεόδωρε, καὶ κυματοτρόφον σὺ βυθὸν προσέψαυσας, καὶ ὑπ᾿ αὐτοῦ ἐκβέβλησαι, εἰς τὴν γῆν τῶν πρᾳέων πολύαθλε.

Τριαδικόν.

Τοῖς ἀνόμοις κριταῖς σε παρέδωκεν, ἡ τὸν κόσμον ἅπαντα ἰσχύος νεύματι, διέπουσα πανάριστα, ἐν Τριάδι Θεότης ἀοίδιμε.

Θεοτοκίον.

Α᾿πειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὴν ψυχήν μου Κύριε, ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι, δεινῶς παραλελυμένην, ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν Παράλυτον, ἤγειρας πάλαι, ἵνα κράζω σεσωσμένος· Οἰκτίρμον δόξα, Χριστέ, τῷ κράτει σου.

Ὁ Οἶκος.

Ο῾ χειρί σου δρακὶ περικρατῶν τὰ πέρατα, Ἰησοῦ ὁ Θεός, ὁ τῷ Πατρὶ συνάναρχος, καὶ Πνεύματι ἁγίῳ συνδεσπόζων ἁπάντων, σαρκὶ ἐφάνης, νόσους ἰώμενος, καὶ πάθη ἀπήλασας, τυφλοὺς ἐφώτισας, καὶ τὸν Παράλυτον λόγῳ θεϊκῷ σὺ ἐξανέστησας, περιπατεῖν ἀθρόως προστάξας, καὶ τὴν βαστάσασαν αὐτὸν κλίνην ἐπὶ τῶν ὤμων ἆραι· ὅθεν πάντες σὺν τούτῳ ἀνυμνοῦμεν καὶ ἐκβοῶμεν· Οἰκτίρμον δόξα, Χριστὲ τῷ κράτει σου.

Μηνολόγιον πρῶτον ἐκ τοῦ Μηναίου καὶ εἶτα τὰ κάτωθι.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τετάρτῃ ἀπὸ τοῦ Πάσχα, τοῦ Παραλύτου μνείαν ποιούμεθα, καὶ ὡς εἰκὸς τὸ τοιοῦτον ἑορτάζομεν θαῦμα.

Στίχοι.
Τὸ ῥῆμα Χριστοῦ σφίγμα τῷ παρειμένῳ.
Οὕτως ἴαμα τοῦτο ῥῆμα καὶ μόνον.

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἀνακομιδὴ τοῦ τιμίου Λειψάνου τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Θεοδώρου τοῦ Βυζαντίου καὶ ἡ ἀνάμνησις τοῦ θαύματος αὐτοῦ, ὅτε τὴν Μυτιλήνην ἀπὸ τῆς πανώλους διέσωσεν, ἐν ἔτει αωλβ΄ (1832).

Στίχοι.
Ἔσωσε λαὸν πανώλους βροτοκτόνου,
Θαύματι φρικτῷ, Θεόδωρος ὁ Μάρτυς.

Συναξάριον.

Τούτου τοῦ θαυμαστοῦ Νεομάρτυρος Θεοδώρου, ἀθλήσαντος ἐν Μυτιλήνῃ ἐν ἔτει αψπδ' (1784), Φεβρουαρίου ιζ΄, τὸ χαριτόβρυτον λείψανον, μετὰ τὴν ἐκ τοῦ τάφου ἀνακόμισιν, κρυπτόμενον ἦν, διὰ τὸν φόβον τῶν ἀσεβῶν Ἀγαρηνῶν, ἄχρι τοῦ αωλβ΄ (1832) ἔτους. Τότε νόσου λοιμικῆς, τῆς λεγομένης πανώλους, ἐπελθούσης τῇ πόλει, καὶ πολλῶν τῶν ἐν αὐτῇ οἰκούντων κακῶς τελευτησάντων καὶ τῶν λοιπῶν ἀναχωρούντων πρὸς σωτηρίαν, καὶ πάντων τρόμῳ συνεχομένων, ἐπέστη κατ᾽ ὄναρ ὁ πολύαθλος Μάρτυς Πρεσβυτέρῳ τινί, Καλλινίκῳ καλουμένῳ, καὶ ἐπέταξεν αὐτῷ προσελθεῖν τῷ Μητροπολίτῃ τῆς Μυτιλήνης Πορφυρίῳ καὶ εἰπεῖν ὅτι κελεύει ὁ ἔνδοξος Θεόδωρος τὴν ἐκ τῆς κρύπτης ἔξοδον καὶ λιτανείαν τοῦ λειψάνου αὐτοῦ ἀνὰ τὴν πόλιν ἵνα παύσῃ ἡ θανατηφόρος νόσος τοῦ θανατοῦσθαι τὸν λαόν. Ἀκούσας οὖν ὁ ἀοίδιμος ἐκεῖνος Ἀρχιερεὺς τὸν Πρεσβύτερον Καλλίνικον ἀφηγούμενον, ἅπερ ὁ Ἅγιος διεμήνυσεν, ἐποίησεν ὡς ἤκουσε καὶ διετάξατο τὴν φανέρωσιν τοῦ τιμίου λειψάνου καὶ τὴν λιτάνευσιν αὐτοῦ, οὗπερ γενομένου ἐλυτρώθη ὁ λαὸς ἐκ τῆς θανατηφόρου ἀσθενείας καὶ πάντες ἐπέστρεψαν ἐν τῇ πόλει δοξάζοντες τὸν Θεὸν καὶ ὕμνους εὐχαριστίας ἀναπέμποντες τῷ Μάρτυρι Θεοδώρῳ. Πλείστων δὲ ἐτῶν παρεληλυθότων ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἐν ἔτει αλε (1935) ὁ τότε ἐν Μυτιλήνῃ θεαρέστως ἀρχιερατεύων Ἰάκωβος ὁ Α΄, ὁ ἀπὸ Δυῤῥαχίου, ἐθεσπίσατο ἵνα ἐτησίως κατὰ τὴν Δ΄ Κυριακὴν ἀπὸ τοῦ Πάσχα, ἤτοι τὴν τοῦ Παραλύτου, τελεῖται ἡ ἀνάμνησις τοῦ τοιούτου θαύματος εἰς δόξαν Θεοῦ καὶ τιμὴν τοῦ Ἁγίου Μάρτυρος.

Τῷ ἀπείρῳ ἐλέει σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζ'. Ὁ Παῖδας ἐκ καμίνου.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, πανώλους ἐῤῥύσατο, Μάρτυς διὰ σοῦ, τῆς Μυτιλήνης τὸν λαόν, ἐν φωνῇ εὐχαρίστῳ κραυγάζοντα· Ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Ἅιδου τὴν καθαίρεσιν, θαῦμα τὸ φρικτόν, συνεορτάζοντες λαμπρῶς, ὃ εἰργάσω τὸ πάλαι Θεόδωρε, καὶ ἔσωσας λοιμικῆς ἀσθενείας, λαὸν τὸν χριστεπώνυμον.

Ω῾ς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ πανήγυρις, ἐν ᾗ οἱ πιστοί, συναθροισθέντες ἐνθέως, εὐφημοῦμέν σε Μάρτυς Θεόδωρε, καὶ λειψάνων τῶν σῶν, προσπτυσσόμεθα χαρᾷ, θήκην τὴν πάντιμον.

Θεοτοκίον.

Λυχνίαν τοῦ φωτός σε τῆς γνώσεως, ῾Αγνὴ ὀνομάζομεν, πύλην τῆς ζωῆς, καὶ σωτηρίας κιβωτόν, παρθενίας σκηνὴν ἀδιάφθορον, τὸ Χαῖρε τοῦ Γαβριὴλ μελῳδοῦντες, τῇ δόξῃ σου Πανάχραντε.

Κανὼν ἕτερος. Ἀντίθεον πρόσταγμα.

Ε᾿ξέπληξε τύραννον, παρανομοῦντα τὸ θάῤῥος σου ἔνδοξε, Θεόδωρε καὶ ᾔσχυνεν, ἀνόμων τὴν ἔπαρσιν, θεασαμένων ἐν σοί, πρόμαχον τῆς πίστεως, τῶν Ὀρθοδόξων· ὅθεν σε μακαρίζομεν.

Ι᾿δόντες σε Ἅγιε, ἠμφιεσμένον στολὴν τὴν ἐν αἵματι, μαρτυρικῷ γηθόμενοι, πιστοὶ ἀνεβόησαν· Ὁ τῶν Πατέρων Θεός, καὶ Κύριος τῆς δόξης, ἀεὶ εὐλογημένος καὶ ὑπερένδοξος.

Τριαδικόν.

Α᾿νάρχου Γεννήτορος, γεγεννημένον Υἱὸν προσκυνήσωμεν, καὶ Πνεῦμα τὸ Πανάγιον, καὶ πάντες βοήσωμεν· Ὦ Παναγία Τριάς, σῶσον τοὺς ὑμνοῦντάς σε, ἀεὶ Εὐλογημένη, καὶ Ὑπερένδοξε.

Θεοτοκίον.

Α῾γίων Ἁγίαν σε, κατανοοῦμεν ὡς μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε Ἀμόλυντε, Μῆτερ Ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας, πιστοῖς τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

Ὠιδὴ η΄. Αὕτη ἡ κλητή.

Αὕτη ἡ σεπτή, καὶ μεγάλη ἡμέρα, ἐν ᾗ τὸ λείψανόν σου, ἀπὸ τῆς κρύπτης ἐξῆλθεν, ἑορτὴ φωταυγής, καὶ πανήγυρίς ἐστι πανυπέρλαμπρος, Θεόδωρε πάντας, πληροῦσα εὐφροσύνης.

Αἶρον Μάρτυς τῷ παντεπόπτῃ, Θεῷ σὰς χεῖρας, ὑπὲρ τῆς πόλεως σου, χρεωστικῶς σε τιμώσης· σὲ γὰρ ἔχει καλόν, Πολιοῦχον καὶ προστάτην Θεόδωρε, καὶ σὲ μακαρίζει, Χριστὸν δοξολογοῦσα.

Πάτερ Παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα, ὁμότιμε Θεότης, τρισοφαὴς Θεαρχία, ὑπερούσιε καὶ ὑπέρθεε, πρεσβείαις τοῦ Μάρτυρος, σῶσόν τὸν λαόν σου, ὡς μόνος ἐλεήμων.

Θεοτοκίον.

Ὄμβρισον ἡμῖν, οὐρανόθεν πλουσίως, ἐλέους σωτηρίου, τὰ ζωοδώρητα ῥεῖθρα· ἐν παθῶν γὰρ αὐχμῷ, ἀπολλύμεθα Παρθένε οἱ ἄθλιοι· σῶσον ἡμᾶς σῶσον, ὡς Μήτηρ τοῦ Σωτῆρος.

Κανὼν ἕτερος. Κάμινος ποτέ.

Δεῦτε γηγενεῖς, πιστῶς ὑμνολογοῦντες, τὸν Ἀθλοφόρον ἐπαινέσωμεν, καὶ τούτῳ βοήσωμεν· Τῶν Μαρτύρων καύχημα χαῖρε, καὶ τοὺς πιστοὺς περίσῳζε ψάλλοντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Σύμπας ὁ λαός, ὑμνῶν τε καὶ γεραίρων, τὸν Ἀθλητὴν τὸν γενναιότατον, καὶ ὄντως ἀήττητον, ἱκετεύει αὐτὸν πάντοτε, περιφρουρεῖν ἐκ θλίψεων ψάλλοντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Τριαδικόν.

Ἄναρχε Θεέ, Υἱὲ συναΐδιε, καὶ Θεῖον Πνεῦμα τὸ ἀχώριστον, Τριὰς ὁμοούσιε, σὸν λαὸν περιχαράκωσον, ἀπὸ πανώλους ἄτρωτον ψάλλοντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Θεοτοκίον.

Σὺ τὸν τοῦ Πατρός, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ Πάναγνε· ὅθεν σε, σωτηρίαν πάντων ἡμῶν ἐπιστάμεθα.

Ὠιδὴ θ'. Φωτίζου, φωτίζου.

Μεγάλυνον ψυχή, Θεόδωρον τὸν θεῖον, τὸν τῆς Μυτιλήνης, ἀκοίμητον προστάτην.

Εὐφραίνου, ἀγάλλου, ἡ Μυτιλήνη ἐν Χριστῷ· Πολιοῦχον γὰρ ἔχεις, τὸν κλεινὸν Θεόδωρον. Χόρευε νῦν, καὶ ἐπαίνει Θεόν, τὸν θαυμαστὸν ἐν αὐτῷ Δεσπότην, ὃν τρέμει πάντα τὰ σύμπαντα.

Σήμερον Μυτιλήνη, ἀγάλλεται καὶ χαίρει, λειψάνων σου τὴν θήκην, Θεόδωρε τιμῶσα.

Ω῏ πλούτου ἀγάπης! ὢ συμπαθείας καὶ στοργῆς! Μυτιλήνης γὰρ πόλιν, ἐν ᾗ ἐμαρτύρησας, σκέπεις, φυλάττεις καὶ σῴζεις ἀεί, ὡς δυνατὸς ταύτης Πολιοῦχος, παρὰ Κυρίου Θεόδωρε.

Ἀγχόνῃ ἐναθλήσας, Θεόδωρε γενναίως, παρὰ Θεοῦ θαυμάτων, χάρισιν ἐδοξάσθης.

Ω῏ Μάρτυς Κυρίου, δῶρον φερώνυμον Θεοῦ, Μυτιλήνης τῇ πόλει, θαυμαστὲ Θεόδωρε, δίδου αὐτῇ, προστασίας τῆς σῆς, τὰς πολλαπλὰς δωρεὰς τιμῶσαν, τὴν τῶν λειψάνων σου λάρνακα.

Θεοτοκίον.

Πανάχραντε Παρθένε, μετὰ τοῦ Θεοδώρου, ὑπὲρ τῆς Μυτιλήνης, πρέσβευε τῷ Υἱῷ σου.

Υ῾πέραγνε Κόρη, ἡ σωματώσασα Χριστόν, καὶ ἀνθρώπων τῷ γένει, τὴν ζωὴν πηγάσασα, ἐν μητρικῇ παῤῥησίᾳ ἀεί, ὑπὲρ ἡμῶν, πρέσβευε Παρθένε, τῶν Θεοτόκον φρονούντων σε.

Κανὼν ἕτερος. Ἀνάρχου Γεννήτορος.

Μεγάλυνον ψυχήν, Θεόδωρον τὸν θεῖον, τὸν τῆς Μυτιλήνης, κράτιστον Πολιοῦχον.

Α᾿ντίθεον πρόσταγμα, θανάτῳ σε παρέδωκε, τῶν Μαρτύρων Θεόδωρε ἰσοστάσιε, καὶ ἐν ἀγχόνῃ ὡράθης, πρὸς ὄνειδος τῶν υἱῶν τοῦ σκότους χωρίον· διό σε δοξάζομεν, Ἀθλοφόρε παναοίδιμε.

Χαῖρε ὁ πανώλους, λαὸν ὁ σώσας Μάρτυς, ὅτε ἀπὸ τῆς κρύπτης, ἡ λάρναξ ἐξῆλθεν.

Τῆς πίστεως θώρακι, καλῶς θωρακισάμενος, τῶν τυράννων συνέθλασας μηχανήματα, καὶ τὰς πονηρὰς ἐπινοίας, τοῦ δαίμονος ἀπεκρούσω μάκαρ· διό σου τὴν ἄθλησιν, καὶ τιμῶμεν καὶ γεραίρομεν.

Τριαδικόν.

Μεγάλυνον ψυχή, τὴν ἄκτιστον Τριάδα, ἧς Μάρτυς τροπαιοῦχος, Θεόδωρος ἐδείχθη.

Τριάδα ἀχώριστον, οὐσίαν ἀδιαίρετον, ἐν τρισὶ τοῖς προσώποις τρανῶς ὑπάρχουσαν, καὶ μελῳδικῶς ὑμνουμένην, ἐν ᾄσμασι καὶ Ἀγγέλων ὕμνοις, αὐτὴν μακαρίσωμεν, καὶ  πιστῶς δοξολογήσωμεν.

Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, τὴν Ἁγνὴν Παρθένον, δι᾽ ἧς ἡ σωτηρία, ἐλήλυθε τῷ κόσμῳ.

Ἁγίων Ἁγίαν σε, ὁ σὸς Υἱὸς ἀνέδειξε, σαρκωθεὶς εἰς τὸ σῶσαι γένος ἀνθρώπινον, τοὺς ἐσκοτισμένους φωτίσαι, συναγαγεῖν τοὺς πεπλανημένους· διό σε Πανύμνητε, Θεοτόκε μεγαλύνομεν.

Τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ γ΄, τὸ Ἐξαποστειλάριον τοῦ Πάσχα, Σαρκὶ ὑπνώσας, εἶτα δὲ τὸ τοῦ Ἁγίου.

Γυναῖκες ἀκουτίσθητε.

Ε᾽νθέως πυρσευόμενος, πανένδοξε Θεόδωρε, τῷ Ἱερεῖ Καλλινίκῳ, ὤφθης κατ᾽ ὄναρ καὶ τοῦτον, ἐξέπεμψας πανθαύμαστε, πρὸς τὸν αὐτοῦ Ἐπίσκοπον, Πορφύριον καὶ ἤγγειλας, ὅτι καθαίρεις τὴν πόλιν, τῆς βροτοκτόνου πανώλης.

Ἕτερον. Ἀπόστολοι ἐκ περάτων.

Α᾽νέθορεν ἐκ τοῦ τύμβου, τὸ λείψανόν σου παμμάκαρ, καὶ ἡ πανώλη ἐκρύβη, ἐκ τῆς αὐτοῦ παρουσίας· ὑμνολογοῦμέν σε ὅθεν, Θεόδωρε Πολιοῦχε.

Καὶ τὸ τοῦ Παραλύτου. Γυναῖκες ἀκουτίσθητε.

Ε᾽πέστη ὁ φιλάνθρωπος, καὶ πανοικτίρμων Κύριος, Προβατικῇ κολυμβήθρᾳ, τοῦ θεραπεῦσαι τὰς νόσους· εὗρε δὲ κατακείμενον, ἄνθρωπον πλείστοις ἔτεσι, καὶ πρὸς αὐτὸν ἐβόησεν· Ἆρον τὸν κράββατον, ἴθι, πρὸς τὰς ὁδοὺς τὰς εὐθείας.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. η′ καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου γ′ καὶ τοῦ Ἁγίου γ′, τὰ κάτωθι.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ω῍ τοῦ παραδόξου θαύματος! ὁ Χριστοῦ Ἀθλητής, θαυμαστὸς Θεόδωρος, ἰάσεων παρ᾽ αὐτοῦ, λαβὼν τὴν δύναμιν, πανώλους τῆς λοιμικῆς, τῆς Μυτιλήνης τὴν πόλιν ἐρρύσατο, καὶ πάντας τοὺς εὐσεβεῖς, ἀγαλλιάσεως θείας ἐπλήρωσεν. Ὅθεν τοῦτον εὐφημοῦντες, τὸν Θεὸν δοξάσωμεν, τὸν τρισὶν ἐν προσώποις, ὀρθοδόξως προσκυνούμενον.

Βαβαὶ τῆς σῆς προμηθείας Χριστέ! σὺ γὰρ ὑπὲρ λόγον, τὸν κλεινὸν Θεόδωρον, ἐδόξασας ἐπὶ γῆς, θαυμάτων χάρισι, καὶ τοῦτον ὡς ἀγαθός, τῆς Μυτιλήνης ἐν ᾗ ἠνδραγάθησεν, ὑπέρμαχον κραταιόν, καὶ θαυμαστὸν πολιοῦχον ἀνέδειξας. Ὅθεν δι᾽ αὐτοῦ χορήγει, τῷ λαῷ σου ἔλεος, σὲ δοξάζοντι Σῶτερ, σὺν Πατρὶ καὶ Θείῳ Πνεύματι.

Τῇ σῇ Θεόδωρε λάρνακι, τῶν Μυτιληναίων, οἱ δῆμοι προστρέχομεν, δοξάζοντες τὸν Θεόν, τὸν σὲ δοξάσαντα, καὶ νάματα ἐξ αὐτῆς, τῶν ἰαμάτων ἀφθόνως λαμβάνοντες, ὡς κρείττονος ἐκ πηγῆς, ἐν ἀκορέστῳ ἀγάπῃ βοῶμέν σοι· Χαῖρε Νεομάρτυς θεῖε, Πολιοῦχε κράτιστε, ὁ τῶν πάλαι Μαρτύρων, κοινωνὸς καὶ ἰσοστάσιος.

Εἶτα δὲ τὰ Στιχηρὰ τοῦ Πάσχα, Πάσχα ἱερόν, μετὰ τῶν Στίχων αὐτῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε πιστοί, καταστέψωμεν ἐγκωμίοις, τὸν θεόστεπτον Μάρτυρα, καὶ ἀήττητον στρατιώτην τοῦ Χριστοῦ, καὶ κήρυκα τῆς αὐτοῦ Θεότητος, τῶν Μυτιληναίων τὸν προστάτην, καὶ θερμὸν ἀντιλήπτορα. Οὗτος γὰρ εὐθαρσῶς καὶ γενναίως, τύραννον παρανομοῦντα διήλεγξε, καὶ ὡς ἀδάμας ἀπαστράπτων ἐν χαρᾷ, τὴν πίστιν τῶν πατέρων ἐτράνωσε, καὶ τὸν στέφανον τοῦ μαρτυρίου προσείληφε. Διὸ καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν· Μάρτυς Θεόδωρε, μὴ διαλείπῃς, πρεσβεύων τῷ Χριστῷ, ὅπως ἵλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν. Τοῦ Παραλύτου. Ὁ αὐτός.

Κύριε, τὸν Παράλυτον οὐχ ἡ κολυμβήθρα ἐθεράπευσεν, ἀλλ᾽ ὁ σὸς λόγος ἀνεκαίνισε, καὶ οὐδὲ ἡ πολυχρόνιος αὐτῷ ἐνεπόδισε νόσος, ὅτι τῆς φωνῆς σου ὀξυτέρα ἡ ἐνέργεια ἐδείχθη, καὶ τὸ δυσβάστακτον βάρος ἀπέρριψε, καὶ τὸ φορτίον τῆς κλίνης ἐβάστασεν, εἰς μαρτύριον τοῦ πλήθους τῶν οἰκτιρμῶν σου, δόξα σοι.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά καὶ οἱ Μακαρισμοὶ, ἐν οἷς ψάλλομεν δ΄ τῆς Ὀκτωήχου καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου τὴν στ΄ Ὠιδήν. Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς Κυριακῆς.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάρια.

Δεῦτε φιλομάρτυρες ἐν χαρᾷ, ὕμνοις ἐγκωμίων, στεφανώσωμεν τὸν κλεινόν, καὶ θεῖον Πολιοῦχον, τῆς νήσου Μυτιλήνης, καὶ κράξωμεν ἐνθέως· Χαίροις Θεόδωρε.

Χαίροις Νεομάρτυς τοῦ Ἰησοῦ, τῶν πάλαι Μαρτύρων, ἐν ὑψίστοις ὁ κοινωνός· χαίροις Μυτιλήνης, ὁ θεῖος Πολιοῦχος, καὶ εὐσεβῶν προστάτης, θεῖε Θεόδωρε.

Δῶρον σε φερώνυμον ὁ Χριστός, δέδωκε τῇ πόλει, Μυτιλήνης ὡς ἀγαθός· ταύτῃ οὖν μὴ παύσῃ, ταχὺς ἐν προστασίαις, Θεόδωρε παμμάκαρ, ἀεὶ δεικνύμενος.

Ἕτερα Μεγαλυνάρια ψαλλόμενα κατὰ τὴν Λιτανείαν τοῦ τιμίου Λειψάνου τοῦ Ἁγίου Νεομάρτυρος Θεοδώρου τοῦ Βυζαντίου.

Ἦχος γ΄. Ἀκατάληπτόν ἐστι.

Μεγαλύνομεν πιστοί, τοῦ παντὸς τὸν Κύριον, θαυμαστώσαντα ἐν γῇ, τοὺς Ἁγίους Μάρτυρας.

Μεγαλύνομεν πιστοί, τὴν σεμνὴν Παντάνασσαν, τὴν Μητέρα τοῦ Θεοῦ, καὶ Δεσπότου τοῦ παντός.

Δεῦτε ὕμνοις στέψωμεν, τὸν κλεινὸν Θεόδωρον, Βυζαντίου γέννημα, Μυτιλήνης καύχημα.

Βασιλὶς τῶν πόλεων, δεῦρο στῆθι μεθ᾿ ἡμῶν, ὕμνων προεξάρχουσα, Θεοδώρου Μάρτυρος.

Ἱερεῖς καὶ ἄρχοντες, δεῦτε μεγαλύνωμεν, ἐγκωμίων ᾄσμασι, τὸν σεπτὸν Θεόδωρον.

Ἀνακτόρων θέλγητρα, φεύγων ὁ Θεόδωρος, μαρτυρίου στέφανον, εὐθαρσῶς προέκρινεν.

Ὢ κλεινὲ Θεόδωρε, Βυζαντίου σέμνωμα, τῶν ἀπίστων ᾔσχυνας, τὴν ὀφρὺν καὶ ἔπαρσιν.

Πρῶτον τάφον ᾤκησας, ὑπὸ τῶν πιστῶν σιγῇ, ἐν νυκτὶ φερόμενος, εἰς Χρυσομαλλούσης γῆν.

Τῆς πανώλους τὴν ὀργήν, σὺ καθῆλες ἔνδοξε, καὶ λαὸν διέσωσας, Μυτιλήνης φεύγοντα.

Ἵνα σώσῃς τὸν λαόν, ὤφθης ὄναρ Ἱερεῖ, Καλλινίκῳ καὶ αὐτόν, χαίρων καθωδήγησας.

Λιτανεύοντες πιστοί, τὴν ἁγίαν λάρνακα, ἀπηλλάγησαν λοιμοῦ, τὸν Θεὸν δοξάζοντες.

Τὸ σεπτόν σου λείψανον, πόθῳ ἀσπαζόμενοι, ἀπαντλοῦμεν δύναμιν, χάριν, ἁγιότητα.

Οἱ τὴν Λέσβον νέοντες, χριστοφόροι ᾄσατε, ὕμνοις μεγαλύνοντες, τὸ τῆς νήσου καύχημα.

Ὡς ποτὲ ἀπήλλαξε, τῆς πανώλους ἅπαντας, οὕτω πόλιν καὶ λαόν, σώσει κινδυνεύοντας.

Οἱ πιστοὶ προστρέχουσι, πάντες μετὰ πίστεως, πρὸς τὴν θείαν λάρνακα, τοῦ Ἁγίου Μάρτυρος.

Προσκομίζουσιν αὐτῷ, εὐλαβείας δείγματα, καὶ ἀντλοῦσι χάριτας, ἰαμάτων ἅπαντες.

Χαίροντες γεραίρομεν, τὴν ἁγίαν μνήμην σου, τὰ σεπτά σου λείψανα, πόθῳ λιτανεύοντες.

Ἐν πολέμῳ ἔδειξας, τὴν σὴν πόλιν ἄτρωτον, καὶ σεισμῶν ἐτήρησας, σαῖς εὐχαῖς ἀκλόνητον.

Καὶ νῦν στῆθι μεθ᾽ ἡμῶν, ἱκετεύων πρὸς Θεόν, πόλιν ἣν ἠγάπησας, τῶν δεινῶν λυτρώσασθαι.

*Στίχοι.*
*Πρόπαλαι Ἰάκωβοςὁ Μυτιλήνης,*
*Θεοδώρῳ ὕφανε σειρὰν ᾀσμάτων,*
*ἣν ὁ Ῥόδου Κύριλλος νῦν ἐπαυξήσας,*
*ἔχοιεν τὸνΜάρτυρα θεῖον προστάτην.*